¶ Ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης, Τί ποτέ ἐστιν, 3
ἔφη, ὅτι ὁ Κεράμων μὲν πολλοὺς τρέφων, οὐ μόνον
ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπιτήδεια δύναται παρ-
έχειν, ἀλλὰ καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ
πλουτεῖν· σὺ δὲ πολλοὺς τρέφων δέδοικας, μὴ δι' ἔν-
δειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; ¶ Ὅτι νὴ
Δί', ἔφη, ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους.
¶ Καὶ πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει 4
βελτίους εἶναι ἢ τοὺς παρὰ Κεράμωνι δούλους; ¶ Ἐγὼ
μὲν οἶμαι, ἔφη, τοὺς παρὰ ἐμοὶ ἐλευθέρους. ¶ Οὐκοῦν,
ἔφη, αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν,
σὲ δὲ πολλῷ βελτίους ἔχοντα ἐν ἀπορίαις εἶναι; ¶ Νὴ
Δί', ἔφη· ὁ μὲν γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευ-
θερίως πεπαιδευμένους. ¶ Ἆρ' οὖν, ἔφη, τεχνῖταί 5
εἰσιν οἱ χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; ¶ Μάλιστά
γ', ἔφη. ¶ Οὐκοῦν χρήσιμά γ' ἄλφιτα; ¶ Σφόδρα
γε. ¶ Τί δ' ἄρτοι; ¶ Οὐδὲν ἧττον. ¶ Τί γάρ; ἔφη,
ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα, καὶ χιτωνίσκοι καὶ
χλαμύδες καὶ ἐξωμίδες; ¶ Σφόδρα γ', ἔφη, καὶ πάν-
τα ταῦτα χρήσιμα. ¶ Ἔπειτα, ἔφη, οἱ παρὰ σοὶ
τούτων οὐδὲν ἐπίστανται ποιεῖν; ¶ Πάντα μὲν οὖν, ὡς
ἐγῷμαι. ¶ Εἶτ' οὐκ οἶσθα, ὅτι ἀφ' ἑνὸς μὲν τού- 6
των, ἀλφιτοποιίας, Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ



§. 3. μὲν πολλοὺς τρέφων] Reiſkius coniicit μὲν οὐ πολλοὺς τρέφων. Sed ſi intelligimus vulgatum, *multos habet alendos*, non opus eſt correctione. Atque ſic intelligi debere in promtu eſt. Nam ipſum alere in ſequentibus exprimitur. *Ern.*

§. 4. εὐπορεῖν] Edd. vett. εὐποιεῖν, perperam.

νὴ Δί'] Haec formula dicendi adhibetur alias conſtanter in reſponſo aiente, ſed ſenſus requirit negans reſponſum. Ergo auctor ſcripſit μὰ Δί', ſeu ναὶ μὰ Δί'.

§. 5. καὶ χιτωνίσκοι καὶ χλαμύδες καὶ ἐξωμίδες] Cum virorum fuerint χιτωνίσκοι, mirum cur non ſcripſerit, καὶ χλανίδες καὶ χλαμύδες κ. ἐξ. *Valken.* Mihi quoque diſplicet χιτωνίσκοι ob ſeq. χλανιδοποιΐας. Niſi igitur χιτωνίσκος et χλανὶς inter ſe permutentur, quia ad idem genus *veſtis tenuis* pertinent: ſuſpicor, auctorem dediſſe χλανίσκια. Pollux enim VII, 48. χλανὶς δὲ, inquit, ἱμάτιον λεπτόν· χλανίδια δ' αὐτὸ καὶ χλανίσκια ἐκάλουν.

γ' ἔφη, καὶ π. τ. χ. ε. ε. οἱ παρὰ] Haec exciderunt in Iunt.

§. 6. οὐκ] Deeſt in Iunt. et mox ἐφ' vitioſe pro ἀφ'. Nauſicydem hunc nominat Ariſtophanes Eccleſiaz. verſ. 426.